Ακαδημία Αθηνών / Academy of Athens

*καὶ γεννήσιος ... αἰδοῖον δὲ τὰν ξυναπάντων· πάντα γὰρ ἀπὸ σ π έ ρ μ α τ ο ς καὶ θάλλοντι καὶ βλαστάνοντι* **2.** Σπέρμα/πρωταρχικὸ στοιχεῖο, germ/principle element, Ἀναξαγόρας 4.2-17 *καὶ σ π έ ρ μ α τ α πάντων χρημάτων ... καὶ σ π ε ρ μ ά τ ω ν ἀπείρων πλῆθος οὐδὲν ἐοικότων ἀλλήλοις* **3.** Σπόρος, seed, Δημόκριτος 11g (τίτλ.) *Αἰτίαι περὶ σ π ε ρ μ ά τ ω ν καὶ φυτῶν καὶ καρπῶν* 164.5 *καθάπερ ὁρᾶν πάρεστιν ἐπί τε τῶν κοσκινευομένων σ π ε ρ μ ά τ ω ν καὶ ἐπὶ τῶν παρὰ ταῖς κυματωγαῖς ψηφίδων.*

**σπερματῖτις.** Σπερματικὴ/σχετικὴ μὲ τὸ σπέρμα, related to sperm, Διογένης 6.47 *ἕτεραι δ' εἰσίν (*sc. *φλέβες) ... ὑπὸ τὸ δέρμα καὶ διὰ τῆς σαρκὸς τείνουσιν εἰς τοὺς νεφροὺς καὶ τελευτῶσιν εἰς τοὺς ὄρχεις τοῖς ἀνδράσι, ταῖς δὲ γυναιξὶν εἰς τὰς ὑστέρας ... αὗται δὲ σ π ε ρ μ α τ ί τ ι δ ε ς καλοῦνται.* Πρβλ. *σπληνῖτις, ἡπατῖτις.*

**σπλήν.** Σπλήνα, spleen, Διογένης 6.17 *ἀπὸ τῶν πρώτων φλεβῶν τείνουσιν, ἀπὸ μὲν τῆς δεξιᾶς εἰς τὸ ἧπαρ, ἀπὸ δὲ τῆς ἀριστερᾶς εἰς τὸν σ π λ ῆ ν α καὶ τοὺς νεφρούς.*

**σπληνῖτις.** Σπληνικὴ/σχετικὴ μὲ τὴ σπλήνα, related to spleen, Διογένης 6.11-36-39 *καὶ καλεῖται ἡ μὲν σ π λ η ν ῖ τ ι ς (*sc. *φλέψ), ἡ δὲ ἡπατῖτις ... καὶ φαίνονται παρά τε τὴν σ π λ η ν ῖ τ ι ν καὶ τὴν ἡπατῖτιν ... τὴν ἡπατῖτιν καὶ τὴν σ π λ η ν ῖ τ ι ν.*

**σπονδὴ 1.** Σπονδή, libation, Ἐμπεδοκλῆς 128.7 *ξανθῶν τε σ π ο ν δ ὰ ς μελίτων ῥίπτοντες ἐς οὖδας* **2.** Συνθήκη/ἀνακωχή, treaty/truce, Δημόκριτος 259.6 *ἀπείργει δὲ ἱερὰ ἑκάστοισι ἐπιχώρια καὶ σ π ο ν δ α ὶ καὶ ὅρκοι.*

**σπουδαιόμυθος.** Σπουδαιολόγος, high-speaking/serious-saying, Δημόκριτος 104 *γέρων εὔχαρις ὁ αἱμύλος καὶ σ π ο υ δ α ι ό μ υ θ ο ς.*

**στάσιμος.** Στάσιμος, stationary, Διογένης 5.9-10 *ἔστι γὰρ*

Ακαδημία Αθηνών / Academy of Athens

(sc. *ὁ ἀήρ) πολύτροπος, καὶ θερμότερος καὶ ψυχρότερος καὶ ξηρότερος καὶ ὑγρότερος καὶ σ τ α σ ι μ ώ τ ε ρ ο ς καὶ ὀξυτέρην κίνησιν ἔχων.*

**στάσις 1.** Στάση/ἐπανάσταση, sedition/revolt, Ξενοφάνης 1.23 *οὔτι μάχας διέπων ... ἢ σ τ ά σ ι α ς σφεδανὰς* **2.** Στάση/διαμάχη, sedition/conflict, Ἐμπεδοκλῆς 27a *οὐ σ τ ά σ ι ς οὐδέ τε δῆρις ἀναίσιμος ἐν μελέεσσιν* Δημόκριτος 245 *φθόνος γὰρ σ τ ά σ ι ο ς ἀρχὴν ἀπεργάζεται* 249 *σ τ ά σ ι ς ἐμφύλιος ἐς ἑκάτερα κακόν· καὶ γὰρ νικέουσι καὶ ἡσσωμένοις ὁμοίη φθορὴ* Ἀρχύτας 3.7 *σ τ ά σ ι ν μὲν ἔπαυσεν, ὁμόνοιαν δὲ αὔξησεν λογισμὸς εὑρεθείς.*

**στέγειν.** Στεγάζω/περιέχω, cover/contain, Δημόκριτος 152 *διόβλητον μὲν οὐδὲν ... ⟨οἷον μὴ τὸ⟩ παρ' αἰθρίης σ τ έ γ ε ι ν ⟨εὐαγὲς⟩ σέλας.* Πρβλ. *ἀποστέγειν.*

**στεινός** (ἀντίθ. *πλατύς, εὐρύς*). Στενός, narrow, Παρμενίδης 12.1 *αἱ γὰρ σ τ ε ι ν ό τ ε ρ α ι* (sc. *στεφάναι) πλῆντο πυρὸς ἀκρήτοιο.*

**στεινωπός.** Στενὸς/περιορισμένος, narrow/constricted, Ἐμπεδοκλῆς 2.1 *σ τ ε ι ν ω π ο ὶ μὲν γὰρ παλάμαι κατὰ γυῖα κέχυνται.*

**στέργεσθαι** *(συνών. ἀγαπᾶσθαι).* Συνδέομαι/ἀγαπιέμαι, be tied together/be loved, Ἐμπεδοκλῆς 22.5 *ὡς δ' αὔτως ὅσα κρῆσιν ἐπαρκέα μᾶλλον ἔασιν, ἀλλήλοις ἔ σ τ ε ρ κ τ α ι ὁμοιωθέντ' Ἀφροδίτῃ.* Πρβλ. *στοργή, κατάστοργος.*

**στερεωπός.** Στερεόμορφος, of solid form, Ἐμπεδοκλῆς 21.6 *ἐκ δ' αἴης προρέουσι θελεμνά τε καὶ σ τ ε ρ ε ω π ά.*

**στέφος.** Στέφανος, crown/wreath, Ἐμπεδοκλῆς 112.6 *ταινίαις τε περίστεπτος σ τ έ φ ε σ ί ν τε θαλείοις.*

**στῆθος.** Στῆθος, breast, Παρμενίδης 6.6 *ἀμηχανίη γὰρ ἐν αὐτῶν σ τ ή θ ε σ ι ν ἰθύνει πλακτὸν νόον* Διογένης 6.9 *διὰ τῶν σ τ η θ ῶ ν ὑπὸ τὴν μασχάλην.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ